# TEZAUR LITURGIC

## 10 IUNIE

## MELETIE SIRIGUL

# SLUJBA
# SF.IERARH-MUCENIC
# TIMOTEI,
# EPISCOPUL
# PRUSEI BITINIEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 ΙΟΥΝΙΟΥ
# ΤΙΜΟΘΕΟΣ
# ΙΕΡΟΜΑΡΤΥΡΕΣ ΠΡΟΥΣΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Μελέτιος Συρίγος

## ΕΣΠΕΡΙΝΟΣ

Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔνδυμα ἐφόρεσας, δικαιοσύνης ὡς γνήσιος, ἱερεὺς καὶ γὰρ ἅπαντα, σαυτὸν περιέφραξας, ἀρεταῖς παντοίαις, ψυχήν τε καὶ σῶμα, ἀφιερώσας τῷ Θεῷ, ἀγαλιάσει δὲ ὥσπερ Ὅσιον, φαιδρῶς ἀγαλλιᾶσθαί σε, ὁ Ἀθλοθέτης πεποίηκεν, Ἱεράρχα Τιμόθεε, τῶν Ἀγγέλων ἐφάμιλλε. (Δίς)

Τερπνὸν ὡς Παράδεισον, τὴν Ἐκκλησίαν ἀνέδειξας, καταρδεύων ἑκάστοτε, αὐτὴν ἐν ὀρθότητι, τῶν θείων δογμάτων, καὶ ζωῆς τὸ ξῦλον, τὸν Ἰησοῦν μέσον αὐτῆς, καταφυτεύων οὗ οἱ μετέχοντες, οὐδέποτε τεθνήξονται, τὸν ὄφιν δὲ τὸν ὀλέθριον, τὸν ἐκεῖ ἐφέδρευοντα, ἀπεδίωξας Ὅσιε. (Δίς)

Θεοῦ παραστάτην σε, ἱερωσύνης ἀνέδειξε, μεσιτεύοντα πλάσματι, καὶ πλάστῃ Τιμόθεε, φέρων ἱκεσίας, τὰς ἐκ τῶν ἀνθρώπων, πρὸς τὸν Θεὸν καὶ τὰ αὐτοῦ, ἕλκων ἐλέη τοῖς ἁμαρτήμασι, τὸ δὲ λαμπρὸν

μαρτύριον, ὃ ὑπεισῆλθες στεῤῥότατα, θῦμα σὲ ἀπειργάσατο, καὶ δεκτὸν ὁλοκάρπωμα.

Κεκρυμμένην μὲν ἔζησας, ἐν Χριστῷ Ἅγιε, χαίρων ἐν ταῖς θλίψεσι καὶ καυχώμενος, ἐν δὲ τῷ τέλει δεδόξασαι, μεγίστοις ἐν θαύμασι, τίμιος γαρ ἀληθῶς, τῶν Ὁσίων ὁ θάνατος, ἔναντι Θεοῦ, ἐπὰν δὲ ὁ Χριστός, φανερωθείη, ἡ ζωὴ τῶν αὐτοῦ δούλων, συνδοξασθήση λαμπρότερον.

Δόξα. Ἦχος πλ. β'.

Εὐφραίνεται σήμερον, ἡ πόλις Προυσιέων, μυστικὴν προθεῖσα πανδαισίαν, τοὺς ἀγῶνας καὶ παλαίσματα, τῶν Ἱερομαρτύρων Ἀλεξάνδρου τε καὶ Τιμοθέου, τῶν προστάτων αὐτῆς, καὶ καλῶν ποιμένων. Δεῦτε λέγουσα τρυφήσατε, μὴ κενουμένων βρωμάτων, ἀλλ' εἰς ζωὴν διαμενόντων αἰώνιον, ἡ γὰρ τῶν Ἁγίων χάρις, τοὺς μετέχοντας ἁγιάζει, καὶ Θεῷ τῷ Παμβασιλεῖ παρίστησιν. Οὓς ἀνυμνοῦντες εἴπωμεν· Ἱεράρχαι σοφοί, ἡ σεπτὴ ξυνωρίς, Χριστὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν

ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.(ι΄ 7, γ΄ 13-16, ἐκλογή).
Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης

πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(δ΄ 7-15).
Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(δ΄14,Παροιμ.ι΄31).
Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου.

Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ· Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις· Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο

ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστιν παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Εἰς τὸν Στίχον. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Θέρμη τῆς ἀγάπης τοῦ Χριστοῦ, Πάτερ πυρπολούμενος, θερμῶν ὑδάτων τὴν ἔκκαυσιν, οὐκ ἐδειλίασας, ἀλλ’ ὥσπερ οι παῖδες, οἱ τρεῖς ἀγαλλόμενος, ἐν τούτοις ὡς ἐν δρόσῳ ἐχόρευες, ψάλλων Τιμόθεε, διὰ σὸν ἔρωτα Κύριε, καὶ τὸ πῦρ μοι, δροσισμὸς γεγένηται.

Στ.: Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Ἐλπίδι πτερούμενος Θεοῦ, παμμάκαρ Τιμόθεε, ἐπὶ ἀσπίδα καὶ λέοντα, καὶ βασιλίσκον τε, ἐπέβης καὶ πᾶσαν, δύναμιν ἐπάτησας, σατᾶν του ἀρχεκάκου ὡς γέγραπται, διὸ καὶ δράκοντα, τῇ σῇ ποίμνῃ ἐνεδρεύοντα, ἀποκτείνας, Θεὸν ἐμεγάλυνας.

Στ.: Τοῖς Ἁγίοις, τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσε ὁ Κύριος.
Ἀνδρείᾳ ψυχῆς ὡς θησαυρούς, τὰς μάστιγας ἥρπαζες, τὰ δε δεσμὰ περιέφερες, ὅρμον ὡς χρύσεον, ζωὴν δὲ ἀγήρω, τὸν θάνατον ἔνδοξε, ἐνόμιζες Χριστῷ προσαγόμενος, θῦμα εὐπρόσδεκτον, διὰ τοῦτο σὲ Ἀλέξανδρε, ὁ Δεσπότης, μεγάλως ἐδόξασε.
Δόξα. Ἦχος πλ. δ΄.
Ἱεράρχαι Κυρίου, καὶ Ἀθλοφόροι γενναῖοι, οἷς ὁ Χριστός, τὰ οἰκεῖα ἐπιστεύσατο πρόβατα, δι᾽ ἣν εἴχετε πρὸς Αὐτὸν ἀγάπησιν, ὑμεῖς δὲ ὑπὲρ αὐτῶν, τὴν ψυχὴν ἐθήκατε, προθύμως θᾶνον, νῦν τὰς ἡμῶν προσδεξάμενοι ἱκεσίας, τὴν ποίμνην ταύτην φυλάξατε, ἀπὸ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, ὡς καλοὶ Ποιμένες, καὶ Πατέρες φιλόστοργοι, ἵνα τιμῶμεν καὶ δοξολογῶμεν, ὑμῶν τὰ μνημόσυνα.
Καὶ νῦν. Θεοτοκίον.
Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον.
Ἀπολυτίκιον. Τοῦ Ἁγίου Τιμοθέου. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τοῖς τῶν αἱμάτων ὄμβροις καταρδευόμενος, Ἱερομάρτυς Κυρίου ἐκαρποφόρησας ἐν τῇ γῇ τῇ ἀγαθῇ τῆς καρδίας σου, τὴν ἀδάπανον τρυφήν, ἣν ἐδέξω ἐκ Θεοῦ, Τιμόθεε δυσωποῦμεν, ἐκ τῶν κινδύνων ῥυσθῆναι, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Δόξα. Τοῦ Ἁγίου Ἀλεξάνδρου. Ἦχος δ΄.

Καὶ τρόπων μέτοχος καὶ θρόνων διάδοχος, των Ἀποστόλων γενόμενος, τὴν πρᾶξιν εὗρες θεόπνευστε, εἰς θεωρίας ἐπίβασιν. Διὰ τοῦτο τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, καὶ τῇ πίστει ἐνήθλησας μέχρι αἵματος Ἱερομάρτυς Ἀλέξανδρε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν ἀρχέκακον ὄφιν καταβαλών, ἐν νηστείαις καὶ πόνοις ἀσκητικοῖς, παμμάκαρ Τιμόθεε, νικητὴς ἀναδέδειξαι, τῆς σαρκὸς γὰρ τῇ τήξει, αὐτὸν ἐξενεύρισας, καὶ ὀφρὺν τὴν ἐκείνου, εἰς τέλος

ἠδάφισας, ὅθεν καὶ τὸν ὄφιν, τὸν τῇ σῇ πόλει Πάτερ, δεινῶς ἐμφωλεύοντα, τῷ Σταυρῷ ἐναπέκτεινας, καὶ τὴν ποίμνην διέσωσας, δόξα Σοι Χριστὲ ὁ Θεος, Ὁ δοξάζων, ἅπαντας τοὺς δούλους Σου, ἐν φρικτοῖς θαυμασίοις καὶ τέρασι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαριστήριον αἶνον, χρεωστικῶς, ὡς ἡ Χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα. Ὅθεν ὡς ἐκ μέσου, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Καταγώγιον τερπνόν, τῶν ἀρετῶν ἀναδειχθείς, ἐν φρονήσει ἀκριβεῖ, καὶ ἀκεραίῳ λογισμῷ, συνεφελκύσω οἰκήτορα καὶ τὸν Θεόν σου, τὴν πάντων ἀγαθῶν πηγὴν ἀένναον, καὶ γέγονας ναὸς τοῦ θείου Πνεύματος, ἡγιασμένος ὅθεν σοι, ἀναβοῶμεν Ἀλέξανδρε· μὴ διαλίπης καθικετεύειν, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ

συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ὅμοιον.
Τὴν εὐπρέπειαν πιστοί, τῆς Ἐκκλησίας νοητῶς, κατοπτεύοντες Χριστόν, δοξολογήσωμεν θερμῶς, ὅτι ἐκόσμησε ταύτην ποικιλοτρόπως, ποιμέσιν ἱεροῖς οἷάπερ ἄστρασι, Μαρτύρων τε χοροῖς τοῖς χρυσαυγίζουσι, μεθ’ ὧν ὁ παμφαέστατος, συνανατέλλει Τιμόθεος, καὶ Ἀλεξάνδρου ἡ φαιδρὰ αἴγλη, ὡς φωστῆρες ὑπέρλαμπροι.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ Μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ Προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Εἶτα οἱ κανόνες· τῆς Θεοτόκου· καὶ τῶν Ἁγίων.
Ὁ Κανὼν τοῦ Ἁγίου Τιμοθέου, οὗ ἡ ἀκροστιχίς: Τιμαῖς γεραίρω τοὺς Τιμοθέου πόνους.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.
Τιμῶντες τὸν ἱερὸν Τιμόθεον, Θεὸν δοξάζομεν, τὸν τοὺς τιμῶντας τοῦτον ἱεραῖς, ἀρεταῖς ὡραΐζοντα, καὶ στεφανοῦντα χάρισι, καὶ θαυμασίοις μεγαλύνοντα.
Ἱδρύσας τὸ τοῦ νοός σου φρόνημα, κλεινὲ Τιμόθεε, εἰς τὸ τιμᾶν Χριστὸν τὸν διὰ σέ, ἑαυτὸν ἀτιμάσαντα, τῷ μαρτυρίῳ κάλλιστα, τοῦτον ἐδόξασας μακάριε.
Μεγίστων κατηξιώθης ἔνδοξε, τιμῶν ἐν γῇ ἀληθῶς, ἱερατεύων ἐν ἁγναῖς χερσί, Θεῷ τῷ Παντοκράτορι, καὶ προσφορὰ γενόμενος, ὡς ἱερεῖον καθαρώτατον.
Θεοτοκίον.
Ἀπάτωρ ἐκ τῆς Σῆς γαστρὸς γεγέννηται, ὁ πάντων Κύριος, Ὃν ὁ Πατὴρ ἀμήτορα γεννᾷ, ἐκ καρδίας ὡς γέγραπται, πρὸ τῶν αἰώνων Πάναγνε, καὶ πρὸ κτιστῆς ἁπάσης φύσεως

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ Σοί.
Ἰθύναντι εὐσεβῶς, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, Ὅσιε, χάρις ἐν σοὶ δεδώρηται, ἐγκαθορμισθῆναι ταῖς ἄνω Μοναῖς.
Συνέσει εὐδοκιμῶν, ἀκεραιότητι ψυχῆς, ἔπραττες, ταύτην διὸ γέγονεν, ὡς φησὶ Δαβὶδ ἀγαθὴ ἐν σοί.
Γενναίως καταβαλών, τὸν πολυμήχανον ἐχθρόν, ἔνδοξε, ἀσκητικοῖς παλαίσμασι, καὶ μαρτυρικοῖς ἐγκατέστεψαι.
Θεοτοκίον.
Ἐπέβλεψεν ἐπὶ Σέ, ὁ τῶν ἁπάντων Ποιητής, Πάναγνε, μήτραν τε Σὴν ἄσαρκος, εἰσελθὼν ἐξῆλθεν ἐν σώματι.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.
Μωσῆς καὶ Ἀαρών, ἐν Θεοῦ ἱερεῦσι, καὶ θεῖος Σαμουήλ, ἐν ἐπικαλουμένοις, αὐτοῦ τὸ θεῖον ὄνομα, Ἰσραὴλ ἐπιδέδονται, τούτοις καὶ ἡμῖν, ἰσοσθενεῖς νῦν δωροῦνται, ὁ Τιμόθεος, καὶ ὁ Ἀλέξανδρος ὄντως, καὶ θεῖος Πατρίκιος.
Δόξα. Ὅμοιον.
Σοφοὶ μυσταγωγοί, τῶν Θεοῦ μυστηρίων, οἱ τὰς τοῦ Ἀαρών, τελετὰς ὑπερβάντες, θυσίας προσάγοντες, ἀναιμάκτους πρὸς Κύριον, ὡς ὁ παλαιός, Μελχισεδὲκ οὗ τὴν τάξιν, ἐζηλώσατε, ὑπὲρ ἡμῶν πρὸς τὸν Κτίστην, δεήσεις ποιήσατε.
Καὶ νῦν. Θεοτοκίον.
Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

ᾨδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.
Ῥύπους τοὺς τοῦ σώματος, καὶ τῆς ψυχης, Πάτερ ἀποπλύνας ἐν αἵματι, τῷ του ἀρνίου, ὑπὲρ ἥλιον λαμπρός, τῷ Βασιλεῖ παρίστασαι, ἐν στολῇ λευκῇ καὶ ἐν φοίνικι.
Ἄγγελος ὑπάρχων, τοῦ Παντουργοῦ, ὥσπερ ἱερεὺς ἐννομώτατος, σῶμα γεώδες, τῇ τομῇ καταλιπῶν, εἰς γῆν ὡς πνεῦμα ἔδραμες, χοροῖς τῶν Ἀγγέλων Τιμόθεε.

Ἵστασο ἐπίσημος, ὥσπερ κριός, ἔμπροσθεν τυράννων θυόμενος, χερσὶν ἀνάγνοις, θῦμα ἄμωμον Θεῷ, ὃν σε καὶ προσεδέξατο, Μάρτυρα Αὐτοῦ τῆς θεότητος.
Θεοτοκίον.
Ῥῆσεν ἑπόμενοι, τῶν Προφητῶν, κλίμακα καὶ ὄρος καὶ τράπεζαν, καὶ κιβωτόν Σε, καὶ Πανάγιον Ναόν, προαγγειλάντων Πάναγνε, καὶ ἡμεῖς ὑμνοῦμεν τὴν δόξαν Σου.

ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.
Ὡραῖος τῷ χρίσματι, ὡραῖος καὶ τοῖς στίγμασι, καὶ ταῖς ἀρετῶν καλλοποιΐαις, κεκοσμημένος, ὅλος παρέστης Θεῷ, ὡρίμους δρεψόμενος καρπούς, τὰ γέρα τῶν πόνων σου, θεηγόρε Τιμόθεε.
Τῆς πίστεως πρόμαχος, Τριάδος τε συνήγορος, καὶ τῆς ἐν σαρκὶ οἰκονομίας, τοῦ λόγου κῆρυξ, σὺ ἐχρημάτισας, οἷα οἰκονόμος συνετός, διανέμων πρόσφορον, τὸ καλὸν σιτομέτριον.
Ὁ τρόπος φιλάνθρωπος, ὁ λόγος σου δὲ ἅλατι, Πάτερ ἠρτυμένος ἦν ἐν πᾶσιν, ὅθεν τὴν ποίμνην, τὴν σὴν ἐδίδασκες, λόγοις τε καὶ ἔργοις ἀγαθοῖς, τοῖς πρὸς τὰ οὐράνια, ὁδηγοῦσι σκηνώματα.
Θεοτοκίον.
Ὑψαύχενα τύραννον, ἐφαύλισας Πανάμωμε, καὶ κατεμυκτήρισας εἰς τέλος, ὀφρὺν τὴν τούτου, ἐξαφανίσασα, καὶ γὰρ ἄνευ σπέρματος ἀνδρός, Κόρη ἐναπέτεκες, τὸν ἐκεῖνο νικήσαντα.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.
Σταυρώσας σάρκα ὡς γνήσιος, ἀκόλουθος Χριστοῦ τοῦ Κυρίου σου, σὺν τοῖς παθήμασι, καὶ ταῖς ἀλόγοις ἐφέσεσιν, ἔζης ἐν αὐτῷ μόνῳ, ᾧ συνδεδόξασαι.
Τοὺς δήγματι ἀποθνήσκοντας, των ὄφεων Μωσῆς ἐθεράπευεν, ὑψῶν τὸν δράκοντα, ἐπὶ τοῦ ξύλου σὺ δ' Ὅσιε, τὸν ὄφιν ἀποκτείνεις, Σταυροῦ τῷ σώματι.
Ἰδεῖν τὴν δόξαν τοῦ Κτίστου σου, ποθῶν τὴν ἀληθῆ καὶ ἀσάλευτον, πᾶσαν μεμίσηκας, τὴν πατουμένην καὶ ῥέουσαν, τερπνότητα τοῦ βίου, ὅθεν δεδόξασαι.
Θεοτοκίον.
Μαρία Πάναγνε Δέσποινα, σὺν Ἱερομαρτύρων στρατεύμασιν, ἐξιλεώσατε, ἡμῖν τὸν Πλάστην καὶ Κύριον, αὐτὸς γὰρ ἐκ μὴ ὄντος, ἡμᾶς πεποίηκε.

Κοντάκιον.
Ἦχος β΄. Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους.
Τὰς ἱεράς, τῆς Ἐκκλησίας σάλπιγγας, τὰς καθελούσας, τοῦ ἐχθροῦ τὴν ἔπαρσιν, ἀνυμνοῦμεν, τὸν Τιμόθεον τὸν θαυμαστὸν καὶ Ἀλέξανδρον, τοῖς πόνοις γάρ, ἐκείνων καὶ ἀθλήμασι, τὴν ποίμνην ταύτην, ἔπηξεν ὁ Κύριος, ὁ μόνος δοξάζων τοὺς Ἁγίους Αὐτοῦ.

Ὁ Οἶκος.
Ὁ ὑποφήτης τοῦ Θεοῦ μεγάλων μυστηρίων, τὸ σκεῦος τὸ τῆς ἐκλογῆς, Παῦλος ὁ θεηγόρος, τὸν μέγαν διαγράφων Ἀρχιερέα Ἰησοῦν, τὸν κατὰ τὴν τάξιν

Μελχισεδέκ, τὰς θυσίας ἐκτελοῦντα, τοιοῦτος φησὶν ἔπρεπεν ἡμῖν Ἀρχιερεύς, Ὅσιος ἄκακος ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος. Ταύτας οὖν τὰς ἱερατικὰς ἀρετάς, ἃς ὁ Ἰησοῦς, φύσει ἐν ἑαυτῷ εἶχεν, τοῖς Μαθηταῖς αὐτοῦ μετέδωκεν, ἐκ τοῦ πληρώματος γὰρ αὐτοῦ, ἡμεῖς πάντες ἐλάβομεν ἔλεγον. Διὸ καὶ τοὺς Ἱερομάρτυρας αὐτοῦ, Τιμόθεόν τε καὶ Ἀλέξανδρον, τοὺς γνησίους αὐτῷ ἀκολουθήσαντες, τοιούτους ἐναπέφηνεν, ὁ μόνος δοξάζων τοὺς Ἁγίους Αὐτοῦ.

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, ὁ Ἅγιος Ἱερομάρτυς Τιμόθεος, ἐπίσκοπος Προύσης, ξίφει τελειοῦται.
Ὁ Τιμόθεος ἐκ ξίφους θνήσκειν θέλει,
Θεοὺς ἀτίμους μηδαμῶς τιμᾷν θέλων.

ᾨδὴ ζ΄. Ἐν τῇ καμίνῳ.
Ὁ παραβάτης, καὶ ἀποστάτης Ἰουλιανός, βλέψας, τὴν φρικτὴν τοῦ ὄφεως τελευτήν, ἀμυνόμενος σὲ ἔκτεινεν, οἷα πρωτότοκος, διαβόλου υἱὸς ὁ παμβέβηλος.
Θεοπροβλήτως, ἐπὶ τοῦ θρόνου ἐπαναβεβηκώς, τῆς ἱερωσύνης, ποίμνην τὴν τοῦ Χριστοῦ, εἰς οὐράνια ὡδήγησας, θεῖα σκηνώματα, ἀναμέλπων τῆς δόξης τὸν Κύριον.
Ἐν εὐλογίαις, καὶ εὐπαῤῥησιάστοις σαῖς προσευχαῖς, πάντα, τὸν λαόν στήριξον ἀκλινῶς, ἐπὶ πέτραν τὴν τῆς πίστεω, καὶ λυμαινόμενον, ταῖς Ἐκκλησίας κατάβαλε τύραννον.

Θεοτοκίον.
Ὁ Θεὸς Λόγος, ἐκ Σοῦ Παρθενομῆτορ σωματωθείς, σάρκα, καὶ ψυχὴν ἡγίασε τὴν ἐμήν, ἑνωθεὶς τῇ ἀνθρωπότητι, τὴν γὰρ οὐσίαν μου, ἀναλαβὼν ἐμὲ ἀνεκαίνισε.

Ὠδὴ η´. Χεῖρας ἐκπετάσας.
Ὕψιστε Θεὲ Παμβασιλεῦ, τυράννων φρόνημα θᾶττον κατάβαλε, ἐπεμβαινόντων τῇ ποίμνῃ σου, ἣν σῷ αἵματι ἠγόρασας, αὐτοὶ δὲ ταύτην ἀφειδῶς, διασκεδάσαι ἐπιποθοῦσι, σὲ ἱκετεύει, ὁ πιστός θεράπων Τιμόθεος.
Πόνους καὶ τομὴν τῆς κεφαλῆς, προσφέρει Δέσποτα τῇ εὐσπλαγχνίᾳ σου, ὁ σὸς θεράπων Τιμόθεος, διὰ τούτων ἱκετεύων σε, μὴ παριδεῖν τὸν σὸν λαόν, τὸν ἁμαρτίαις βεβυθισμένον, ἀλλ' ὡς τῷ Πέτρῳ, ἐκτεῖναι τὴν χεῖρά σου.
Ὅλον ἠμαυρώθη τῆς ψυχῆς, τὸ κάλλος Δέσποτα ᾧ  μὲ ἐκόσμησας, τῆς ἀτιμίας δὲ πράξεσιν, εἰδεχθές ἐστι καὶ βέβηλον, καὶ διὰ τοῦτο σοὶ βοῶ· ὑσσώπω ῥάντισον τῶν παθῶν μου, καὶ ταῖς λιταῖς, Τιμοθέου με κάθαρον.
Τριαδικόν.
Νοῦς μὲν ὡς γεννήσας ἀπαθῶς, Λόγον ἀΐδιον Πατὴρ ὁ ὠνόμασαι, ὡς ταυτούσιος τούτῳ γε, Πάτερ Ἄναρχε Ἀγέννητε, σὲ δὲ ὡς γέννημα υἱόν, κατονομάζομεν Θεοῦ Λόγε, καὶ σὲ τὸ πνεῦμα, προβλητῶς προϊὸν πεπιστεύκαμεν.

Ὠδὴ θʹ. Ἅπας γηγενής.
Οὐρανὸς καὶ γῆ, θαλάσσης τὰ ὕδατα, καὶ ποταμοὶ καὶ ἀήρ, συμπανηγυρίσατε, ἡμῖν ὑμνοῦσι, τοὺς θείους Μάρτυρας, ὡς γὰρ ἐπὶ παράφρονας, Χριστὸς ὁπλίζει ὑμᾶς, οὕτω πάντως, καὶ πρὸς τὰ ἐγκώμια, τῶν πιστῶν αὐτοῦ δούλων συνάξειε.
Ὕπερθεν ἡμᾶς, παμμάκαρ Τιμόθεε, ἐπισκεψάμενος, ἴασαι ὡς εὔσπλαγχνος, ψυχῆς τὰς νόσους, καὶ τὰς τοῦ σώματος, τὸν πυρετὸν κατάσβεσον, ὀδύνας κοίμησον, καὶ τὰ ἕλκη, συνούλωσον τάχιστα, τῶν ἀμέτρων παθῶν ἡμῶν Ἅγιε.
Στῆσον τὴν δεινήν, ζάλην τῶν αἱρέσεων, Πάτερ Τιμόθεε, ῥῆξον τὸ χιτώνιον, τῆς ἀθυμίας, ὅπερ ἐνδέδυνται, οἱ εὐσεβείας πρόμαχοι, ἐκ τυραννούντων ἐχθρῶν, καὶ τῆς ποίμνης, τοῦ Χριστοῦ ἀπέλασον, τοὺς λῃστάς τε καὶ κλέπτας τῇ ῥάβδῳ σου.
Θεοτοκίον.
Μήτηρ ἀψευδής, Θεοῦ χρηματίζουσα, ἡμῶν μνημόνευε, Παναγία Δέσποινα, καὶ γὰρ τῳόντι, ὑπὲρ ημῶν τῶν αὐτόν, παροξυνάντων πταίσμασιν, ἀμέτροις ᾤκησε, τὴν σὴν μήτραν, καὶ σὲ ἐμεγάλυνε, γεννηθεὶς ἀπὸ σοῦ ὑπὲρ ἔννοιαν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.
Ἡ Προυσιέων τέρπεται, πόλις ἡ τρισολβία, δυσὶν ἐν Ἱερομάρτυσι, πλουτισθεῖσα προστάταις, τοὺς ἱεροῦς καὶ ἐνδόξους, Τιμοθέῳ τῷ πάνυ, καὶ Ἀλεξάνδρῳ λάμψασιν, ὡς φωστῆρσιν ἐν κόσμῳ, τούτων εὐχαῖς,

καὶ ἡμᾶς ἀξίωσον, Παντοκράτορ, ῥυσθῆναι τῆς κολάσεως, ἐν ἡμέρᾳ τῆς δίκης.

Θεοτοκίον.

Παρθένε Παντευλόγητε, τῶν Ἱερομαρτύρων, τὸ κλέος καὶ τὸ καύχημα, καὶ Οσίων ἡ δόξα, ἱκέτευσον τὸν Υἱόν Σου, τοῦ ῥυσθῆναι κινδύνων, φθορᾶς τε καὶ κακώσεως, καὶ λοιμοῦ καὶ λιμοῦ τε, φθοροποιοῦ, καὶ σεισμοῦ φρικώδους, ταύτην τὴν πόλιν, τὴν πόθῳ Σοι προστρέχουσαν, καὶ ὑμνοῦσαν Σὸν τόκον.

Αἶνοι. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Τιμόθεον δεῦτε οἱ πιστοί, ὕμνος στεφανώσωμεν, τὸν στεφανώσαντα ἄνθεσι, τῶν ἀρετῶν αὐτοῦ, τοῦ Χριστοῦ τὴν νύμφην, καὶ κατακαλλύναντα, αὐτὴν τῇ πορφυρίδι τοῦ αἵματος, αὐτῷ κραυγάζοντες· χαίροις Πάτερ τρισμακάριστε, τὸ τῆς Προύσης, τερπνὸν ἐγκαλλώπισμα. (Δίς)

Ἀλέξανδρον βρύοντα καρποῖς, τοῦ Ἁγίου Πνεύματος, ἀγαθωσύνῃ ἀγάπῃ τε, καὶ μακροθυμίᾳ, τὶς ἄν ἐπαινέσειεν, ἀξίως Ἱεράρχην τὸν ἔνθεον, καὶ στεῤῥὸν Μάρτυρα, οἰκουμένης τὸ ἀγλάϊσμα, καὶ τῆς θείας, Ἐκκλησίας ἔρεισμα.

Ὥσπερ ἐποιμάνατε καλῶς, ζῶντες πανσεβάσμιοι, τὴν ποίμνην ταύτην διδάγμασι, καὶ κατορθώμασιν, οὕτω καὶ θανόντες, ἐξ ὕψους ἰθύνετε, αὐτὴν εἰς τοῦ Θεοῦ τὰ σκηνώματα, καὶ γαρ ὡς δίκαιοι, ἐν Κυρίῳ ζῆτε πάντοτε, σὺν Ἀγγέλοις, Αὐτῷ παριστάμενοι.

Δόξα. Ἦχος πλ. α΄.
Διὰ τῶν Μαρτύρων Σου Χριστέ, ἡ πλάνη τῶν εἰδώλων πεφυγάδευται, καὶ διὰ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου Σου, ἡ εὐσέβεια εἰς τὸν κόσμον ἐφήπλωται. Δι᾽ αὐτῶν γὰρ πάντα τὰ ἔθνη, εἰς Τριάδα ἐπίστευσαν ὁμοούσιον, ἐν μιᾷ θεότητι, ὅθεν καὶ Τιμόθεον σὺν Ἀλεξάνδρῳ, τοὺς ἱεροκήρυκας, τοὺς τὴν καλὴν ὁμολογίαν, θαύμασιν καὶ αἵμασιν αὐτῶν βεβαιώσαντα, συμφώνως εὐφημοῦντες, δοξάζομέν Σε Φιλάνθρωπε.
Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

